# Κεφάλαιον ΚΒ΄

## Ψαλμός 22 (Μασ. 23)

1 ΚΥΡΙΟΣ ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει.

2 εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν,
ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με,

3 τὴν ψυχήν μου ἐπέστρεψεν.
ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης
ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

4 ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου,
οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ᾿ ἐμοῦ εἶ·
ἡ ράβδος σου καὶ ἡ βακτηρία σου,
αὗταί με παρεκάλεσαν.

5 ἡτοίμασας ἐνώπιόν μου τράπεζαν,
ἐξεναντίας τῶν θλιβόντων με·
ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου,
καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.

6 καὶ τὸ ἔλεός σου καταδιώξει
με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου,
καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.

**Ψαλμός τῷ Δαυΐδ**

## Κεφάλαιον ϞΕ΄

### Ψαλμός 95 (Μασ. 96)

῞Οτε ὁ οἶκος ᾠκοδομεῖτο μετὰ τὴν αἰχμαλωσίαν· ᾠδὴ τῷ Δαυΐδ.
1 ΑΣΑΤΕ τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ·

2 ᾄσατε τῷ Κυρίῳ· εὐλογήσατε τὸ ὄνομα αὐτοῦ,
εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ·

3 ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ,
ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.

4 ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα,
φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς·

5 ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια,
ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν.

6 ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ.
ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.

7 ἐνέγκατε τῷ Κυρίῳ, αἱ πατριαὶ τῶν ἐθνῶν,
ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν·

8 ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ,
ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ·

9 προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ,
σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

10 εἴπατε ἐν τοῖς ἔθνεσιν· ὁ Κύριος ἐβασίλευσε,
καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην,
ἥτις οὐ σαλευθήσεται, κρινεῖ λαοὺς ἐν εὐθύτητι.

11 εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ,
σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς·

12 χαρήσεται τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς·
τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ

13 πρὸ προσώπου τοῦ Κυρίου, ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν.
κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.